232. Vgl. Herod. I 119 ἰδὼν δὲ οὔτε ἐξεπλάγη ἐντός τε ἑωυτοῦ γίνεται, Hom. χ 411 ἐν θυμῷ, γρηῦ, χαῖρε καὶ ἴσχεο μηδ' ὀλόλυζε. Orestes kommt einem heftigen Ausbruch freudiger Überraschung zuvor. Damit vermeidet der Dichter die Notwendigkeit, starke Farben aufzutragen.

237. Soph. Ai. 1004 ὦ δυσθέατον ὄμμα (so ruft Teukros beim Anblick des toten Bruders). — μοίρας, partes, Rollen.

238. ὁ δέ ἀντὶ τοῦ γάρ Schol. Vgl. zu Ag. 437. Die Stelle enthält eine Nachahmung von Hom. Z 429 Ἕκτωρ, ἀτὰρ σύ μοι ἐσσὶ πατὴρ καὶ πότνια μήτηρ ἠδὲ κασίγνητος, σὺ δέ μοι θαλερὸς παρακοίτης. — Zu ἔστ' ἀναγκαίως ἔχον vgl. 692, Aristoph. Frie. 334 μοι 'στ' ἀναγκαίως ἔχον, Antiphan. com. frg. 53, 3 ὁδόν, ἣν πᾶσιν ἐλθεῖν ἔστ' ἀναγκαίως ἔχον, Eur. Suppl. 527 τί τούτων ἐστὶν οὐ καλῶς ἔχον.

239. Statt des einfachen μητέρα (προσαυδᾶν) folgt eine neue Wendung.

241. τῆς .. ὁμοσπόρου scil. στέργηθρον ἐς σέ μοι ῥέπει.

242. πιστὸς .. ἦσθα, weil du dich entschlossest zu meiner Erlösung hieherzukommen.

235. Beweinte (d. h. unter Thränen ersehnte) Hoffnung. δακρυτός als fem.: zu Ag. 598. — σπέρματος ist als relat. Gen. von σωτήριος abhängig. Vgl. πόνων θελκτήριος 666, λυμαντήριον οἴκων 760, δειμάτων λυτήριον 816, auch δέσμιον σέθεν Eum. 306. Krüger II 47, 26, 7. Durch σπέρματος σωτήριος wird bezeichnet, daſs sich die Hoffnung auf Erhaltung des Geschlechts bezieht.

236. ἀλκῇ πεποιθώς: Suppl. 355 ἀλκᾷ πίσυνος, Hom. E 299 λέων ὣς ἀλκὶ πεποιθώς.

243. μόνον, vgl. οἷον Ag. 136, μόνον θεοὶ σῴζοιεν Soph. Phil. 528. — σὺν τῷ τρίτῳ: er wird an drit-

ΟΡ. Ζεῦ Ζεῦ, θεωρὸς τῶνδε πραγμάτων γενοῦ· 245
ἰδοῦ δὲ γένναν εὖνιν αἰετοῦ πατρός,
θανόντος ἐν πλεκταῖσι καὶ σπειράμασιν
δεινῆς ἐχίδνης. τοὺς δ' ἀπωρφανισμένους
νῆστις πιέζει λιμός· οὐ γὰρ ἐντελεῖς
θήραν πατρῴαν προσφέρειν σκηνήμασιν. 250
οὕτω δὲ κἀμὲ τήνδε τ', Ἠλέκτραν λέγω,
ἰδεῖν πάρεστί σοι, πατροστερῆ γόνον,
ἄμφω φυγὴν ἔχοντε τὴν αὐτὴν δόμων.
καὶ τοῦ θυτῆρος καί σε τιμῶντος μέγα
πατρὸς νεοσσοὺς τούσδ' ἀποφθείρας, πόθεν 255
ἕξεις ὁμοίας χειρὸς εὔθοινον γέρας;
οὔτ' αἰετοῦ γένεθλ' ἀποφθείρας πάλιν
πέμπειν ἔχοις ἂν σήματ' εὐπιθῆ βροτοῖς,
οὔτ' ἀρχικός σοι πᾶς ὅδ' αὐανθεὶς πυθμὴν

ter Stelle genannt als Ζεὺς σωτήρ. Eum. 761 *Παλλάδος καὶ Λοξίου ἕκατι καὶ τοῦ πάντα κραίνοντος τρίτου σωτῆρος* und zu Ag. 257 f.

246. Hier (vgl. 203) wird zuerst das Gleichnis ohne Vermittlung gegeben, diese aber 251 mit *οὕτω δὲ καὶ* nachgebracht. Vgl. Ag. 76 u. 334. *αἰετοῦ πατρός*, des alten Adlers. *πατρός* steht in Gegensatz zu *γένναν*, erinnert aber gleich an die Beziehung des Gleichnisses.

247. Mit *πλεκταῖσι καὶ σπειράμασιν* vgl. *σπείραις πολυπλόκοις* Eur. Med. 481. In betreff der Feindschaft des Adlers und des Drachen vgl. Hom. *M* 200 ff., Aristot. Tiergesch. IX 1 *ἔστι δὲ ἀετὸς καὶ δράκων πολέμια· τροφὴν γὰρ ποιεῖται τοὺς ὄφεις ὁ ἀετός.*

248. *τοὺς δέ*, als ob *παῖδας* statt *γένναν* vorherginge.

249 f. *νῆστις*: zu Ag. 203. — *ἐντελεῖς*, ausgewachsen, flügge (*ὥστε προσφέρειν*). — *θήραν πατρῴαν*, was der alte Adler für die Jungen fing. — *σκηνήμασιν*: *τῇ καλιᾷ* Schol.

252. *πατροστερῆ* passivisch wie *βιοστερῆ* Soph. Oed. K. 747, *κρατὶ ὀμματοστερεῖ* ebd. 1260, dagegen hat *ἀργυροστερῆ* unten 1000 aktive Bedeutung wie *ὀμματοστερής* Eum. 941. — *γόνος*, proles.

253. Vgl. zu 132.

254. *καί*: und nicht blofs Mitleid, sondern auch das eigene Interesse mufs dich bestimmen uns zu helfen. Sept. 76 *γένεσθε δ' ἀλκή· ξυνὰ δ' ἐλπίζω λέγειν· πόλις γὰρ εὖ πράσσουσα δαίμονας τίει.*

256. *ὁμοίας*, die ebenso reichlich spendet. — *εὔθοινον* wie *θοίναις* Prom. 546 von Opfermahlzeiten gesagt ist. Zum Gedanken Hom. *A* 40 *ἢ εἰ δή ποτέ τοι κατὰ πίονα μηρί' ἔκηα ταύρων ἠδ' αἰγῶν, τόδε μοι κρήηνον ἐέλδωρ.*

257 ff. *οὔτε .. οὔτε*: zu Ag. 76. Doch hat man nicht den gleichen Fall wie etwa Eur. frg. 194 *ἐγὼ γὰρ οὔτε ναυτίλον φιλῶ τολμῶντα λίαν οὔτε προστάτην χθονός*, weil hier eine Beziehung auf das vorhergehende Gleichnis vorliegt. — *σήματ' εὐπιθῆ*: der Adler (*αἰετὸς ὑψιπέτης*) ist der wichtigste Weissagevogel. Hom. *Θ* 247 *αὐτίκα δ' αἰετὸν ἧκε, τελειότατον πετεηνῶν*, *M* 201, *N* 822, *Ω* 292 *αἴτει δ' οἰωνὸν ταχὺν ἄγγελον, ὅς τε οἱ αὐτῷ φίλτατος οἰωνῶν, καί εὑ κράτος ἐστὶ μέγιστον*, 315, *β* 146, *ο* 161, *υ* 243 — *αὐανθείς· ξηρανθείς* Hesych.

βωμοῖς ἀρήξει βουθύτοις ἐν ἤμασιν. 260
κόμιζ', ἀπὸ σμικροῦ δ' ἂν ἄρειας μέγαν
δόμον, δοκοῦντα κάρτα νῦν πεπτωκέναι.

ΧΟ. ὦ παῖδες, ὦ σωτῆρες ἑστίας πατρός,
σιγᾶθ', ὅπως μὴ πεύσεταί τις, ὦ τέκνα,
γλώσσης χάριν δὲ πάντ' ἀπαγγείλῃ τάδε 265
πρὸς τοὺς κρατοῦντας· οὓς ἴδοιμ' ἐγώ ποτε
φθίνοντας ἐν κηκῖδι πισσήρει φλογός.

ΟΡ. οὔτοι προδώσει Λοξίου μεγασθενὴς
χρησμὸς κελεύων τόνδε κίνδυνον περᾶν,
κἀξορθιάζων πολλὰ καὶ δυσχειμέρους 270
ἄτας ὑφ' ἧπαρ θερμὸν ἐξαυδώμενος,
εἰ μὴ μέτειμι τοῦ πατρὸς τοὺς αἰτίους,
τρόπον τὸν αὐτὸν ἀνταποκτεῖναι λέγων,
[ἀποχρημάτοισι ζημίαις ταυρούμενον.

260. *ἀρήξει: ἐπιμελήσεται τῶν βωμῶν* Schol. In anderem Sinne *πόλει τ' ἀρήγειν καὶ θεῶν ἐγχωρίων βωμοῖσι* Sept. 14. — *βουθύτοις ἤμασιν*: zu Ag. 1592.

261. *κόμιζε: ἐπιμελείας ἀξίου* Hesych. Hom. Z 490 *τὲ' αὐτῆς ἔργα κόμιζε*, ρ 113 *ὣς ἐμὲ κεῖνος ἐνδυκέως ἐκόμιζε*. Das Objekt zu *κόμιζε* ergiebt sich aus dem folgenden Satze (*δόμον*).

264. *ὦ τέκνα* nach *ὦ παῖδες* als Ausdruck zärtlicher Bitte. Vgl. 895.

265. *γλώσσης χάριν* s. v. a. *γλώσσῃ χαριζόμενος* (nur um zu reden, aus Schwatzhaftigkeit, *μὴ δυνάμενος ἐχεμυθεῖν* Schol.), vgl. Hes. W. und T. 709 *μηδὲ ψεύδεσθαι γλώσσης χάριν*, Soph. Ant. 371 *τόλμας χάριν*, Eur. Or. 1514 *γλώσσῃ χαρίζῃ, τἄνδον οὐχ οὕτω φρονῶν*. — Porson setzt *ἀπαγγελεῖ* wegen *πεύσεται*. Aber durch den Konj. *ἀπαγγείλῃ* wird die Befürchtung dessen ausgedrückt.

266. *οὓς ἴδοιμ' ἐγώ ποτε*: Eur. Med. 163 *ὅν ποτ' ἐγὼ νύμφαν τ' ἐσίδοιμ' αὐτοῖς μελάθροις διακναιομένους*, scherzhaft Aristoph. Ach. 1156 *ὃν ἔτ' ἐπίδοιμι — τευθίδος δεόμενον*.

267. *ἐν κηκῖδι πισσήρει*, im Qualm des Fichtenharzes, weil der Scheiterhaufen aus dem Holz der Pechfichte (*πεύκη*) errichtet wurde.

268. *οὔτοι προδώσει* (*με*) wie *οὔτοι προδώσω* (*σε*) Eum. 64. — *μεγασθενής* wie Eum. 61 *Λοξίᾳ μεγασθενεῖ*.

270. *ἐξορθιάζων: ἀνατεταμένα βοῶν* Schol.

271. Vgl. Eum. 469 f., Attius Epigonis frg. VI R. qui nisi genitorem ulso (s. v. a. ultus fuero), nullum meis dat finem miseriis. — *ὑφ' ἧπαρ*, „ins Herz". Soph. Ant. 1315 *παίσασ' ὑφ' ἧπαρ αὐτόχειρ αὑτήν*, Ag. 440, 783. — *θερμόν* steht proleptisch. Soph. Ant. 88 *θερμὴν ἐπὶ ψυχροῖσι καρδίαν ἔχεις*.

272. *μέτειμι*: zu Ag. 1666. — *τοῦ πατρὸς τοὺς αἰτίους*, eine kurze, immerhin verständliche Ausdrucksweise. Doch möchte man *τοῦ φόνου τοὺς αἰτίους*, wie Heimsöth, oder *τοὺς παλαμναίους πατρός* oder *τοῦ πατρὸς μιαιφόνους*, wie Stadtmüller vermutet hat, erwarten.

273. *τρόπον τὸν αὐτόν*: 887 *δόλοις ὀλούμεθ' ὥσπερ οὖν ἐκτείναμεν*, 554 ff.

274. Die Partie 274—295, welche durch eigentümliche und starke Färbung des Ausdrucks auffällt und mit 1030 f. *οὐκ ἐρῶ τὴν ζημίαν· τόξῳ γὰρ οὔτις πημάτων προσίξεται*

αὐτὸν δ' ἔφασκε τῇ φίλῃ ψυχῇ τάδε 275
τίσειν μ' ἔχοντα πολλὰ δυστερπῆ κακά.
τὰ μὲν γὰρ ἐκ γῆς δυσφρόνων μηνίματα
ἔταις πιφαύσκων εἶπε βλαστάνειν νόσους,
σαρκῶν ἐπαμβατῆρας, ἀγρίαις γνάθοις
λειχῆνας ἐξέσθοντας ἀρχαίαν φύσιν· 280
λευκὰς δὲ κόρσας τῇδ' ἐπαντέλλειν νόσῳ·
ἄλλας τ' ἐφώνει προσβολὰς Ἐρινύων
ἐκ προστροπαίων αἱμάτων τελουμένας.
ὁρῶντα λαμπρὸν ἐν σκότῳ νωμῶντ' ὀφρύν.
τὸ γὰρ σκοτεινὸν τῶν ἐνερτέρων βέλος 285
[ἐκ προστροπαίων ἐν γένει πεπτωκότων]

nicht in Einklang steht, scheint Dindorf mit Recht als spätere Einlage bezeichnet zu haben. — ἀποχρημάτοισι . . ταυρούμενον (scil. ἐμέ) erklären Pauw, Hermann, Dindorf u. a. „in Entrüstung wegen des mir entzogenen väterlichen Erbes". Aber der Gegensatz, der in den folgenden Worten αὐτὸν τῇ φίλῃ ψυχῇ liegt, weist auf folgenden Sinn hin: „durch Strafen, die nicht mit Geld, sondern mit dem eigenen lieben Leben zu büfsen sind, wild gemacht, aufgeregt", so dafs ζημίαις sich auf die Drohungen des Apollon bezieht. Mit ταυρούμενον vgl. Eur. Med. 92 ἤδη γὰρ εἶδον ὄμμα νιν ταυρουμένην, 188 τοκάδος δέργμα λεαίνης ἀποταυροῦται δμωσίν (diese Beziehung auf den Blick ist natürlicher).

275 f. αὐτόν με τίσειν τάδε (scil. τὸ μὴ μετιέναι τὸν τοῦ πατρὸς φόνον) τῇ φίλῃ ψυχῇ (abhängig von τίσειν, büfsen mit) steht, wie gesagt, in Gegensatz zu ἀποχρημάτοισι. — ἔχοντα κτἑ., d. i. „indem über mich viel Unheil komme".

277 f. „Den Groll der gekränkten Abgeschiedenen aus der Erde den Angehörigen in Aussicht stellend." — βλαστάνειν νόσους: vgl. Ag. 753 βλαστάνειν . . οἰζύν.

279 f. λειχῆνας σαρκῶν ἐπαμβατῆρας (Aussatz der sich über den Leib verbreitet), ἀγρίαις γνάθοις (Prom. 384 ποταμοὶ πυρὸς δάπτοντες ἀγρίαις γνάθοις . . γύας) ἐξέσθοντας (die Form ἔσθειν auch Ag. 1597) ἀρχαίαν (die ursprüngliche, τὴν ὑγιᾶ καὶ ἐξ ἀρχῆς οὖσαν ἡμῖν Schol.) φύσιν ist Apposition zu νόσους. Zu λειχῆνας vgl. Eum. 788 ff., zu ἀρχαίαν Plat. Gorg. 518 D προσαπολοῦσιν αὐτῶν καὶ τὰς ἀρχαίας σάρκας.

281. κόρσας, τρίχας Schol., Poll. II 32, Etym. M. p. 530, 51, Etym. Gud. p. 338. Vgl. Cels. V 28, 19 vitiligo (Flechte) quoque quamvis per se nullum periculum affert, tamen et foeda est et ex malo corporis habitu fit. Eius tres species sunt. Ἄλφος . . Μέλας . . Λευκὴ habet quiddam simile alpho, sed magis albida est et altius descendit, in eaque albi pili sunt et lanugini similes. Omnia haec serpunt, sed in aliis celerius, in aliis tardius. — ἐπαντέλλειν wie ἀντέλλουσα θρίξ Sept. 522.

282. προσβολάς (aggressiones), vgl. Aristoph. Frie. 59 ὅτου ποτ' ἐστὶ δαιμόνων ἡ προσβολή.

283. ἐκ προστροπαίων αἱμάτων d. i. aus dem Grolle der Gemordeten, die nach Rache verlangen.

284. Wenn der Vers dieser Partie ursprünglich angehört, so mufs, wie Dobree vermutet hat, vorher etwas ausgefallen sein (z. B. τοιαῦτα πέμψειν εἶπε τὸν κάτω νεκρόν, der obwohl er seine Augenbrauen in der Dunkelheit bewege, doch hell sehe).

285. Die Rede wird hier direkt, 290 wieder indirekt.

286. Der Vers scheint aus einer

καὶ λύσσα καὶ μάταιος ἐκ νυκτῶν φόβος
κινεῖ, ταράσσει, καὶ διώκεται πόλεως
χαλκηλάτῳ μάστιγι λυμανθεὶς δέμας.
καὶ τοῖς τοιούτοις οὔτε κρατῆρος μέρος 290
εἶναι μετασχεῖν, οὐ φιλοσπόνδου λιβός,
βωμῶν τ' ἀπείργειν οὐχ ὁρωμένην πατρὸς
μῆνιν, δέχεσθαι δ' οὐδὲ συλλύειν τινά·
πάντων δ' ἄτιμον κἄφιλον θνῄσκειν χρόνῳ
κακῶς ταριχευθέντα παμφθάρτῳ μόρῳ]. 295
τοιοῖσδε χρησμοῖς ἆρα χρὴ πεποιθέναι·
κεἰ μὴ πέποιθα, τοὔργον ἔστ' ἐργαστέον.
πολλοὶ γὰρ εἰς ἓν συμπίτνουσιν ἵμεροι,
θεοῦ τ' ἐφετμαὶ καὶ πατρὸς πένθος μέγα,
καὶ πρὸς πιέζει χρημάτων ἀχηνία, 300

Erklärung zu 283 entstanden zu sein. Vgl. Anhang.

287. λύσσα und μάταιος φόβος geben eine Erklärung zu τὸ .. βέλος, wenn sie auch nicht appositionell stehen. — μάταιος, weil nur geträumt. — ἐκ νυκτῶν, nächtlicher Weile, wie Hom. μ 286 ἐκ νυκτῶν δ' ἄνεμοι χαλεποί, Theogn. 460, Eur. Rhes. 13 τίνες ἐκ νυκτῶν τὰς ἡμετέρας κοίτας πλάθουσι;

288. κινεῖ, ταράσσει wie Sept. 60 χωρεῖ κονίει, 169 αὔειν λακάζειν, Pers. 429 ἔπαιον ἐρράχιζον, 466 παίουσι κρεοκοποῦσι. Der zweite Ausdruck ergänzt und verstärkt den ersten. — Der bei κινεῖ ταράσσει als Objekt gedachte Schuldige ist Subjekt zu διώκεται. — πόλεως s. v. a. ἐκ πόλεως.

290 f. τοῖς τοιούτοις allgemein, obwohl der Singular vorhergeht (διώκεται). Nachher (294 und schon 292) folgt wieder der Sing. mit besonderer Beziehung auf Orestes. — οὔτε . . οὐ: zu Ag. 501. — μέρος μετασχεῖν wie Ag. 512. — εἶναι, licere. — φιλοσπόνδου λιβός d. i. an der Libation, welche der Kreis der φίλοι darbringt. Zu Ag. 1020 und Soph. Oed. T. 238 μήτ' εἰσδέχεσθαι μήτε προσφωνεῖν τινα, μήτ' ἐν θεῶν εὐχαῖσι μηδὲ θύμασι κοινὸν ποεῖσθαι μήτε χέρνιβας νέμειν, ὠθεῖν δ' ἀπ' οἴκων πάντας. Nach Demosth. XX 158 bestimmte ein Gesetz des Drakon χερνίβων εἴργεσθαι τὸν ἀνδροφόνον, σπονδῶν, κρατήρων, ἱερῶν, ἀγορᾶς.

292. ἀπείργειν, nämlich τὸν τοιοῦτον oder μέ, wie πατρός zeigt.

293. δέχεσθαι οὐδὲ συλλύειν s. v. a. οὔτε δέχεσθαι οὔτε συλλύειν: zu Ag. 537. — συλλύειν: συγκαταλύειν, συνοικεῖν Schol., una deversari. Eine andere Bedeutung dürfte hier kaum am Platze sein. Die Bedeutung wenigstens, die das Wort Soph. Ai. 1317 εἰ μὴ ξυνάψων, ἀλλὰ συλλύσων πάρει hat, ist hier nicht brauchbar. Stanley erklärt es: paciscі, transigere, Blomfield: operam praestare in scelere expiando, Hermann: una solvere navem, indem er Eur. frg. 848 ὅστις δὲ τὼ φύσαντε μὴ τιμᾶν θέλῃ, μὴ 'μοὶ γένοιτο μήτε συνθύτης θεοῖς μήτ' ἐν θαλάσσῃ κοινόπλουν στέλλοι σκάφος und Hor. carm. III 2,26 vetabo, qui Cereris sacrum volgarit arcanae, sub isdem sit trabibus fragilemque mecum solvat phaselon vergleicht.

295. ταριχευθέντα, exsiccatum, ein ebenso eigentümlicher Ausdruck wie παμφθάρτῳ.

296. ἆρα für ἄρα (füglich) wie 434.

298. εἰς ἕν (in unum) wie Eur. Phoen. 462 εἰς ἓν συνελθών.

300. καὶ πρός wie Prom. 73 κἀπιθωύξω γε πρός, 961 πρὸς δέ.

τὸ μὴ πολίτας τ' εὐκλεεστάτους βροτῶν,
Τροίας ἀναστατῆρας εὐδόξῳ φρενί,
δυοῖν γυναικοῖν ὧδ' ὑπηκόους πέλειν.
θήλεια γὰρ φρήν· εἰ δὲ μή, τάχ' εἴσεται.

ΧΟ. Ἀλλ' ὦ μεγάλαι Μοῖραι, Διόθεν 305
τῇδε τελευτᾶν
ᾗ τὸ δίκαιον μεταβαίνει.
ἀντὶ μὲν ἐχθρᾶς γλώσσης ἐχθρὰ
γλῶσσα τελείσθω· τοὐφειλόμενον
πράσσουσα Δίκη μέγ' ἀϋτεῖ· 310

301 ff. *τὸ μὴ . . τε . . πέλειν* schliefst sich wieder wie *ἐφετμαί* und *πένθος* appositionell an *ἵμεροι* an: „der Wunsch dafs nicht . . seien." — *δυοῖν γυναικοῖν*: Ag. 1625.

304. *τάχ' εἴσεται* wie Ag. 1649 *γνώσῃ τάχα*, Sept. 646 *τάχ' εἰσόμεσθα τἀπίσημ' ὅποι τελεῖ*, Eur. Iph. A. 970 *τάχ' εἴσεται σίδηρος*, Herakleid. 269 *πειρώμενος δὴ τοῦτό γ' αὐτίκ' εἴσομαι*. „Wenn er aber sich gegen den Vorwurf der *θήλεια φρήν* wehrt, wird er's bald erfahren." Es ist nicht nötig *εἴσεται* (mit Pauw und Hermann) passivisch zu nehmen oder *εἴσομαι* zu schreiben. Vgl. Demosth. VIII § 40 *κακόνους μέν ἐστι . . τοῖς μάλιστ' οἰομένοις αὐτῷ χαρίζεσθαι· εἰ δὲ μή* (d. i. wenn sie es mir nicht glauben), *σκεψάσθωσαν κτέ.*

305—476 Kommos, welcher den Rächer weckt (vgl. 326 f.) und die Motive der Handlung entwickelt zur Ermutigung und Stärkung des Orestes (510 *ἐπειδὴ δρᾶν κατώρθωσαι φρενί*). Derselbe wird durch eine anapästische Partie des Koryphaios eingeleitet und durch eine solche geschlossen und besteht aufserdem aus vier Teilen. Die erste Partie (314—421) zerfällt durch ein anapästisches System des Koryphaios (371—378) in zwei symmetrische Teile, deren Mitte wieder anapästische Systeme des Chorführers einnehmen, die sich entsprechen (339—343 = 399—403), während zu beiden Seiten eine Strophe des Orestes und eine Antistrophe der Elektra stehen, die auf der einen Seite durch eine Strophe, auf der anderen durch eine Antistrophe des Chors getrennt werden. Die Form des Ganzen ist also folgende:

Or. Cho. El. Kor. Or. Cho. El. Kor. Or. Cho. El. Kor. Or. Cho. El.

305. *ἀλλά* häufig am Anfang von Gebeten wie im Lat. at, 474, 538, 1061, Pers. 631, 643, Soph. Oed. K. 421, Eur. Med. 759, 1389. *Μοῖραι, Διόθεν* (durch die Fügung von Zeus, Eur. Or. 355 *θεόθεν πράξας ἅπερ ηὔχουν*): Zeus bringt das ewige Gesetz, welches die Mören vertreten, zur Ausführung, vgl. Eum. 1046 *Ζεὺς ὁ πανόπτας οὕτω Μοῖρά τε συγκατέβα.* — Über den absolut. Infin. *τελευτᾶν* (exitum habeat) zu Ag. 150.

307. Qua via iustitia procedit contra Agamemnonis occisores in favorem Orestis (Butler).

309 f. *τελεῖν* „leisten, zollen" unterscheidet sich von *τελεῖν* „voll-

ἀντὶ δὲ πληγῆς φονίας φονίαν
πληγὴν τινέτω. δράσαντι παθεῖν,
τριγέρων μῦθος τάδε φωνεῖ.

str. 1. ΟΡ. ὦ πάτερ αἰνοπαθές, τί σοι
φάμενος ἢ τί ῥέξας 315
τύχοιμ' ἂν ἕκαθεν οὐρίσας
ἔνθα σ' ἔχουσιν εὐναί;
σκότῳ φάος ἀντίμοιρον·
χάριτες δ' ὁμοίως
κέκληνται γόος εὐκλεὴς 320
προσθοδόμοις Ἀτρείδαις.

str. 1. ΧΟ. τέκνον, φρόνημα τοῦ
θανόντος οὐ δαμάζει

enden". Vgl. Curtius griech. Etymol. unter W. τελ. — Der Zwischensatz „Dike treibt mit lautem Rufe das Geschuldete ein" bezieht sich auf den ganzen Gedanken „Wort für Wort, Schlag für Schlag", was s. v. a. „wie Wort für Wort, so Schlag für Schlag". Das alte ius talionis „Aug' um Auge, Zahn um Zahn". Ag. 1431 τύμμα τύμματι τῖσαι.

312 f. τινέτω, ὁ φονεύσας (Schol.) oder ὁ δράσας, was sich leicht aus dem Zusammenhang ergänzt. — δράσαντι: der Dativ unter dem Einfluſs von φωνεῖ. — δράσαντι παθεῖν, vgl. Hes. frg. 217 Göttl. εἴ κε πάθοι τά κ' ἔρεξε, δίκη κ' ἰθεῖα γένοιτο, Pind. Nem. IV 32 ῥέζοντά τι καὶ παθεῖν ἔοικεν, Aesch. frg. 282 δράσαντι γάρ τοι καὶ παθεῖν ὀφείλεται, Ag. 381. — τριγέρων (zu Ag. 749) wie τριπάχυντος Ag. 1477, τρίπαλαι Aristoph. Ri. 1152. — τάδε: zu Ag. 1333.

314 ff. αἰνοπαθές (von Hartung hergestellt für αἰνόπατερ): δεινὰ παθών Schol. „Welches Wort oder welche Handlung kann ich glücklich ans Ziel zu dir ins Grab bringen? Wie das Reich des Lichtes geschieden ist von dem Reiche der Finsternis, so sind Gunsterweisungen, die in einem kräftigen Seufzer bestehen, verschlossen für die Atriden, die früheren Herren des Hauses (d. i. sie können nicht zu Agamemnon dringen). Zum Gedanken vgl. Aristoph. Frö. 1175 τεθνηκόσιν γὰρ ἔλεγεν, ὦ μοχθηρὲ σύ, οἷς οὐδὲ τρὶς λέγοντες ἐξικνούμεθα. — τύχοιμ' ἄν, dürfte es mir gelingen. Vgl. zu Ag. 1200. — ἕκαθεν οὐρίσας: Eur. Or. 1241 εἴπερ γὰρ εἴσω γῆς ἀκοντίζουσ' ἀραί, κλύει. — εὐναί wie Soph. El. 436 εὐνὴν πατρός. — χάριτες γόος: χάριτας δὲ νεκρῶν πάντες φασὶ τὸν γόον Schol. (Paley schreibt φασὶ πάντες, indem er darin den Vers eines Komikers sieht). Eur. Hel. 176 χάριτας ἵν' ἐπὶ δάκρυσι παρ' ἐμέθεν ὑπὸ μέλαθρα νύχια παιᾶνας νέκυσι μελομένους λάβῃ. — ὁμοίως steht an der gleichen Stelle der Antistrophe. — προσθοδόμοις: τοῖς πρότερον ἐσχηκόσι δόμον Schol.

322 ff. „Den Geist des Toten verzehrt die Flamme des Scheiterhaufens nicht. Er offenbart hinterdrein seinen Groll (gegen den Mörder). Die Weheklage um den Gemordeten läſst den Rächer erstehen. Und sind die Väter auch in Asche auf-

πυρὸς μαλερὰ γνάθος,
φαίνει δ' ὕστερον ὀργάς· 325
ὀτοτύζεται δ' ὁ θνῄσκων,
ἀναφαίνεται δ' ὁ βλάπτων·
πατέρων δὲ καὶ τακέντων
γόος ἔνδικος ματεύει
τὸ πᾶν ἀμφιλαφὴς ἀραχθείς. 330

ant. 1. ΗΛ. κλῦθί νυν, ὦ πάτερ, ἐν μέρει
πολυδάκρυτα πένθη.
δίπαις τοί σ' ἐπιτύμβιος
θρῆνος ἀναστενάζει.
τάφος δ' ἱκέτας δέδεκται 335
φυγάδας θ' ὁμοίως.
τί τῶνδ' εὖ, τί δ' ἄτερ κακῶν;
οὐκ ἀτρίακτος ἄτα;

syst. ΧΟ. ἀλλ' ἔτ' ἂν ἐκ τῶνδε θεὸς χρῄζων
θείη κελάδους εὐφθογγοτέρους· 340
ἀντὶ δὲ θρήνων ἐπιτυμβιδίων
παιὰν μελάθροις ἐν βασιλείοις
φιάλην νεοκρᾶτα κομίζοι.

str. 2. ΟΡ. εἰ γὰρ ὑπ' Ἰλίῳ

gegaugen, ein aufrichtigor Jammerruf, der durchaus kräftig an das Grab hingeschmettert wird, weiſs sie zu finden.“ *μαλερά* wie Hom. *I* 242 *μαλεροῦ πυρός*. — *γνάθος*: zu 279. Zum Gedanken vgl. Lucau V 763 nostros non rumpit funus amores, non diri fax summa rogi. — *τακέντων* wie Eur. Suppl. 1141 *αἰθὴρ ἔχει νιν ἤδη πυρὸς τετακότα σποδῷ*. — *ματεύει* scil. *αὐτούς* (*πατέρας*). — *ἀμφιλαφής*: vgl. Ag. 872, 1001, *βρονταὶ .. ἀμφιλαφέες* Herod. IV 28.

336. *φυγάδας*: zu 132.

337. Vgl. Eum. 154.

338. *ἀτρίακτος, ἀνίκητος. ἀπὸ τῶν παλαιστῶν, οἳ ἀποτριάζονται ὑπὸ τῶν ἀντιπάλων.* Zu Ag. 181.

339. *ἐκ τῶνδε*, unter solchen Verhältnissen, trotzdem, vgl. Pers. 790 *πῶς ἂν ἐκ τούτων ἔτι πράσσοιμεν ὡς ἄριστα*, Soph. Ai. 537 *τί δῆτ' ἂν ὡς ἐκ τῶνδ' ἂν ὠφελοῖμί σε;* Eur. Med. 459 *ὅμως δὲ κἀκ τῶνδ' ἥκω*, Hipp. 705 *ἀλλ' ἔστι κἀκ τῶνδ' ὥστε σωθῆναι*. — *χρῄζων*, wenn es seiu Wille ist.

343. *φιάλην νεοκρᾶτα*: vgl. frg. 336 *νεοκρᾶτας σπονδάς* und zum Gedauken Hom. Z 528 *αἴ κέ ποθι Ζεὺς δώῃ .. θεοῖς .. κρητῆρα στήσασθαι ἐλεύθερον ἐν μεγάροισιν*.

344. *εἰ γὰρ* unter Anknüpfung an 337 ff. *τί τῶνδ' εὖ .. ἄτα;* Der Gedanke nach Hom. α 236 *οὔ κε θανόντι περ ὧδ' ἀκαχοίμην, εἰ μετὰ οἷς ἑτάροισι δάμη Τρώων ἐνὶ δήμῳ*, λ 408 *οὔτε μ' ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ' ἐπὶ χέρσου, ἀλλά μοι Αἴγισθος τεύξας θάνατόν τε μόρον τε ἔκτα σὺν οὐλομένῃ ἀλόχῳ.* Vgl.

πρός τινος Λυκίων, πάτερ, 345
δορίτμητος κατηναρίσθης,
λιπὼν ἂν εὔκλειαν ἐν δόμοισιν
τέκνων τ' ἐν κελεύθοις
ἐπιστρεπτὸν αἰῶ
κτίσας πολύχωστον ἂν εἶχες 350
τάφον διαποντίου γᾶς
δώμασιν εὐφόρητον.

ant. 1. ΧΟ. φίλος φίλοισι τοῖς
ἐκεῖ καλῶς θανοῦσιν
κατὰ χθονὸς ἐμπρέπων 355
σεμνότιμος ἀνάκτωρ,
πρόπολός τε τῶν μεγίστων
χθονίων ἐκεῖ τυράννων·
βασιλεὺς γὰρ ἦν, ὄφρ' ἔζη,
μόριμον λάχος περαίνων 360
χεροῖν πεισιβρότῳ τε βάκτρῳ.

ant. 2. ΗΛ. μηδ' ὑπὸ Τρωΐοις
τείχεσι φθίμενος, πάτερ,

Soph. El. 94 ὅσα τὸν δύστηνον ἐμὸν θρηνῶ πατέρ', ὃν κατὰ μὲν βάρβαρον αἶαν φοίνιος Ἄρης οὐκ ἐξένισεν κτἑ., Eur. Androm. 1182 εἴθε σ' ὑπ' Ἰλίῳ ἤναρε δαίμων Σιμοεντίδα παρ' ἀκτάν.

348 f. „und das Dasein deiner Kinder zu einem auf ihren Wegen die Augen der Menge auf sich ziehenden gemacht" d. h. wo deine Kinder sich in der Öffentlichkeit gezeigt hätten, würde man nach ihnen umgeblickt und auf sie als die Kinder des berühmten Vaters hingedeutet haben. Vgl. zu Ag. 1331.

350. κτίσας: zu Eum. 17. — πολύχωστον, hoch aufgeschüttet (nicht ὑπὸ πολλῶν κεχωσμένον, wie der Schol. erklärt). Vgl. Hom. ω 80.

352. δώμασιν εὐφόρητον d. i. bei einem solchen Tode hätte die Familie sich trösten können und während sonst ein Grab im fremden Lande (διαποντίου γᾶς) schmerzlich ist (Ag. 511 ff.), wäre es in dem Falle erfreulicher gewesen als dieses Grab in heimischer Erde.

353 f. φίλος κτἑ. schliefst sich an das vorhergehende εἶχες an. — ἐκεῖ d. i. vor Troja, dagegen 358 s. v. a. in der Unterwelt.

355 f. Hom. λ 485 νῦν αὖτε μέγα κρατέεις νεκύεσσιν ἐνθάδ' ἐών· τῷ μή τι θανὼν ἀκαχίζευ, Ἀχιλλεῦ.

357 f. πρόπολος.. τυράννων: Schol. Πλούτωνος καὶ Περσεφόνης. Vgl. Eur. Alk. 746 Ἅιδου νύμφῃ παρεδρεύοις (Alkestis), Demosth. 60, 34 παρέδρους εἰκότως ἂν τις φήσαι τοὺς κάτω θεοὺς εἶναι.

359. Hom. Γ 179 εὐρὺ κρείων Ἀγαμέμνων, ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμητής.

360. τὴν ἐκ Μοιρῶν βασιλείαν κεκληρωμένην ἔχων Schol., das vom Schicksal ihm zugefallene Los erfüllend. Vgl. Ag. 1010 f.

361. χεροῖν d. i. mit Macht, deren Symbol das Gehorsam gebietende Scepter ist.

362. γυναικικῶς οὐδὲ τούτῳ ἀρέ-

μετ' ἄλλῳ δουρικμῆτι λαῷ
παρὰ Σκαμάνδρου πόρον τεθάφθαι, 365
πάρος δ' οἱ κτανόντες
νιν οὕτως δαμῆναι,
πρὸς ὧν θανατηφόρον αἶσαν
<ἐχρῆν> τινα πυνθάνεσθαι
τῶνδε πόνων ἄπειρον. 370

ΧΟ. ταῦτα μέν, ὦ παῖ, κρείσσονα χρυσοῦ,
μεγάλης δὲ τύχης καὶ ὑπερβορέου
μείζονα φωνεῖς· δύνασαι γάρ.
ἀλλὰ διπλῆς γὰρ τῆσδε μαράγνης
δοῦπος ἱκνεῖται· τῶν μὲν ἀρωγοὶ 375

σκεται, ἀλλὰ τῷ μηδὲ τὴν ἀρχὴν ἀνηρῆσθαι. Schol.

364. δουρικμῆτι wie Soph. Ai. 325 βοτοῖς σιδηροκμῆσιν.

365. τεθάφθαι: Den absol. Infin., der einen Wunsch ausdrückt (zu Ag. 150), erklärt der Schol. mit λείπει τὸ ὤφειλες.

366 ff. „Wären lieber vorher u. s. w." Bei dem absol. Infin. steht der Nom. nur bei der zweiten Person (Krüger I § 55, 1, 5), hier bei der dritten Person infolge einer Art Assimilation an das Vorhergehende. Vgl. Hom. Z 86 Ἕκτορ, ἀτὰρ σὺ πόλινδε μετέρχεο, εἰπὲ δ' ἔπειτα μητέρι σῇ καὶ ἐμῇ· ἣ δὲ ξυνάγουσα γεραιὰς .. θεῖναι κτέ. — πρὸς ὧν bei πυνθάνεσθαι wie Herod. IX 58, indem das Relativ zum Verbum, statt zu αἶσαν (ὧν αἶσαν) konstruiert ist. — τινά d. i. ἐμέ (Schol.), daher τῶνδε πόνων ἄπειρον („es wäre mir dann dieser Kummer erspart geblieben").

371 ff. „Ungemein herrlich ja ist, was du wünschest; aber diese Wünsche bleiben Wünsche. Indes liegt eine grofse Aufmunterung in dem Gedanken, dafs den einen mächtige Helfer in der Unterwelt beistehen, während andrerseits die Machthaber unreine Hände haben und der allgemeine Hafs auf ihnen ruht." κρείσσονα χρυσοῦ, μεγάλης δὲ .. μείζονα wie κρείσσονα μὲν χρυσοῦ, κρείσσονα (μείζονα) δὲ μεγάλης κτέ. Vgl. 230. Mit κρείσσονα χρυσοῦ vgl. Aristot. paean. in Herm. 7 ἄρπυν ἐς ἀθάνατον χρυσοῦ τε κρείσσω καὶ γανέων, Eur. Tro. 432 ὡς χρυσὸς αὐτῷ τἀμὰ καὶ Φρυγῶν κακὰ δόξει ποτ' εἶναι, Cat. 107, 3 hoc est gratum nobisque est carius auro. — ὑπερβορέου: die Glückseligkeit der Hyperboreer besingt Pind. Pyth. X 57 Μοῖσα δ' οὐκ ἀποδαμεῖ τρόποις ἐπὶ σφετέροισι· πάντα δὲ χοροὶ παρθένων λυρᾶν τε βοαὶ καναχαί τ' αὐλῶν δονέονται· δάφνᾳ τε χρυσέᾳ κόμας ἀναδήσαντες εἰλαπινάζοισιν εὐφρόνως. νόσοι δ' οὐδὲ γῆρας οὐλόμενον κέκραται ἱερᾷ γενεᾷ. πόνων δὲ καὶ μαχᾶν ἄτερ οἰκέοισι, φυγόντες ὑπέρδικον Νέμεσιν. Vgl. Pompon. Mela III 5 diutius quam ulli mortalium et beatius vivunt. — διπλῆς μαράγνης wie διπλῇ μάστιγι Ag. 647. — δύνασαι: ῥᾴδιον γὰρ τὸ εὔχεσθαι Schol. Vgl. auch δύναται γάρ Hom. δ 827, δύνασαι γάρ ε 25. — δοῦπος von der λιγυρὰ μάστιξ (Hom. Λ 532, Soph. Ai. 242, vgl. El. 737 ὀξὺν δι' ὤτων κέλαδον ἐνσείσας θοαῖς πώλοις). Der dem bildlichen Ausdruck zu Grunde liegende Gedanke ist: Die Hilfe der Toten und der Hafs der Lebenden richtet sich wie eine Doppelgeifsel gegen die Mörder; schon hört man das Klatschen dieser Geifsel d. h. schon naht die

κατὰ γῆς ἤδη· τῶν δὲ κρατούντων
χέρες οὐχ ὅσιαι· στυγερὸν τούτων
πᾶσι τί μᾶλλον γεγένηται;

str. 3. ΟΡ. τοῦτο διαμπερὲς οὖς
ἵκεθ' ἅπερ τι βέλος. 380
Ζεῦ Ζεῦ, κάτωθεν ἰάλλων
ὑστερόποινον ἄταν
βροτῶν τλάμονι καὶ πανούργῳ
χειρί, τόκοισι δ' ὅμως τελεῖται.

str. 2. ΧΟ. ἐφυμνῆσαι γένοιτό μοι 385
πυκάεντ' ὀλολυγμὸν ἀνδρὸς
θεινομένου γυναικός τ'
ὀλλυμένας· τί γὰρ κεύθω,
φρενὸς οἷον ἔμπας
ποτᾶται; πάροιθεν δὲ πρῴρας 390
δριμὺς ἄηται κραδίας
θυμός, ἔγκοτον στύγος.

ant. 3. ΗΛ. καὶ πότ' ἂν ἀμφιθαλὴς
Ζεὺς ἐπὶ χεῖρα βάλοι,

Rache, welche aus dem Zusammenwirken der Lebenden und Toten hervorgeht. — Für *ἤδη* erwartet man *ζῶσιν* wie Soph. El. 1419 *ζῶσιν οἱ γᾶς ὑπαὶ κείμενοι*. Vgl. Eum. 601, Soph. El. 453 *γῆθεν εὐμενῆ ἡμῖν ἀρωγὸν αὐτὸν εἰς ἐχθροὺς μολεῖν*. Die Wirksamkeit der Toten offenbart der böse Traum der Klytämestra, vgl. Soph. El. 459 ff., 472 ff.

379. „Dieses Wort drang tief hinein wie ein Pfeil ins Ohr." Aus der Erinnerung an das unwürdige Todeslos des Agamemnon entwickelt sich das glühende Verlangen nach Rache.

381 ff. Wenn Zeus auch spät erst den Verbrechern die Rachegeister aus der Unterwelt schickt, so wird doch mit Zinsen heimgezahlt. Vgl. 66 ff., 1007, Hom. Δ 160 *εἴ περ γάρ τε καὶ αὐτίκ' Ὀλύμπιος οὐκ ἐτέλεσσεν, ἔκ τε καὶ ὀψὲ τελεῖ, σύν τε μεγάλῳ ἀπέτισαν, σὺν σφῇσιν κεφαλῇσι γυναιξί τε καὶ τεκέεσσιν* und zu Ag. 58. — *κάτωθεν*, weil die Erinyen in der Unterwelt wohnen. — *ἰάλλων*, *ἀναπέμπων*. — *ὑστερόποινον ἄταν* wie Ag. 58 *ὑστερόποινον Ἐρινύν*. — *τλάμονι*, audaci.

386. *πυκάεντα*: die Abstammung des Wortes ist unsicher. Theognost. Can. p. 23, 12 erklärt *πυκᾶες* mit *ἰσχυρόν*.

388 ff. „Was soll ich zurückhalten mit dem, was doch sich Luft macht? Ja wie scharfer Luftzug vor dem Vorderteile des fahrenden Schiffes herweht, so geht von meinem Herzen aus grimmer Zorn, grollender Hafs." Gleichnis und eigentlicher Ausdruck sind vermengt. Vgl. auch Hom. Φ 386 *δίχα δέ σφιν ἐνὶ φρεσὶ θυμὸς ἄητο* und Σ 322 *δριμὺς χόλος*.

393 ff. „Und wann wird des Zeus' Arm auf sie dreinfahren und ihnen das Haupt spalten?" d. i. „o dafs

φεῦ φεῦ, κάρανα δαΐξας; 395
πιστὰ γένοιτο χώρᾳ.
δίκαν δ' ἐξ ἀδίκων ἀπαιτῶ·
κλῦτε δὲ Γᾶ χθονίων τε τιμαί.

antisyst. ΧΟ. *ἀλλὰ νόμος μὲν φονίας σταγόνας*
χυμένας ἐς πέδον ἄλλο προσαιτεῖν 400
αἷμα. βοᾷ γὰρ λοιγὸς Ἐρινὺν
παρὰ τῶν πρότερον φθιμένων ἄτην
ἑτέραν ἐπάγουσαν ἐπ' ἄτῃ.

str. 4. ΟΡ. *πόποι δᾶ, νερτέρων τυραννίδες,*
ἴδετε πολυκρατεῖς ἀραὶ τεθυμένων, 405
ἴδεσθ' Ἀτρειδᾶν τὰ λοίπ' ἀμηχάνως
ἔχοντα καὶ δωμάτων
ἄτιμα. πᾷ τις τράποιτ' ἄν, ὦ Ζεῦ;

ant. 2. ΧΟ. *πέπαλται δ' αὖτέ μοι φίλον*

doch endlich u. s. w.", wie besonders *πῶς ἄν* häufig zum Ausdruck des Wunsches dient (Krüger II § 54, 3, 6). — *ἀμφιθαλής* erklärt der Schol. *ὁ ποιήσων ἄμφω ἡμᾶς ἀναθηλῆσαι*, kaum denkbar. „Von beiden Seiten umblüht" bezieht sich wohl auf den flammenden Blitz: „rings umflammt". Über das Partic. Aor. *δαΐξας*, welches die mit *ἐπιβάλοι* zusammenfallende Handlung des Augenblicks ausdrückt, vgl. Krüger I § 53, 6, 8, Koch 101 Anm. 1. Elektra zeigt schon bei Äschylos leidenschaftlich erregtes und thatkräftiges, Orestes ängstliches und zögerndes Wesen. Vgl. Einl. S. 24 f.

396. Ein Unterpfand möge (durch Vernichtung der Mörder) dem Lande zu teil werden. Vgl. Eum. 676. Xenoph. Kyr. VII 4, 3 *πιστὰ δ' ἠξίουν γενέσθαι.*

398. *Γᾶ χθονίων τε τιμαί* (dignitates inferorum, ebenso steht *τιμαῖς* für *τοῖς ἐντίμοις, τοῖς ἄρχουσιν* Soph. Ai. 670 *τὰ δεινὰ καὶ τὰ καρτερώτατα τιμαῖς ὑπείκει*): vgl. Pers. 631 *χθόνιοι δαίμονες ἁγνοί, Γῆ τε καὶ Ἑρμῆ βασιλεῦ τ' ἐνέρων*, 643 *Γᾶ τε καὶ ἄλλοι χθονίων ἁγεμόνες.*

399. *νόμος κτέ.*, die Wiederholung des 311—313 ausgesprochenen Grundsatzes.

400. *χυμένας*: zu Eum. 263.

401. *βοᾷ*: *διὰ βοῆς ἐφέλκεται* Schol. („ruft nach der Erinys"). — *λοιγός*: *θάνατος, ὄλεθρος* Hesych. Wegen des Gedankens vgl. Eum. 935 ff., Eur. Hipp. 831 *πρόσωθεν δέ ποθεν ἀνακομίζομαι τύχαν δαιμόνων ἀμπλακίαισι τῶν πάροιθέν τινος.*

402 f. „Die von den voraus Gemordeten her zum Untergang neuen Untergang bringt."

404. *πόποι δᾶ* („ach Gott") wie Ag. 1056.

405. *ἀνειδωλοποιεῖ τὰς ἀράς.* Schol. — *τεθυμένων, ἐσφαγμένων.*

406. *τὰ λοιπά*: *ἡμᾶς τοὺς ὑπολοίπους τῶν Ἀτρειδῶν* Schol.

407 f. *ἄτιμα δωμάτων* (*ὄντα*), des Hauses verwiesen, vgl. *πάντων ἄτιμον* 294.

409 ff. „Bei solcher (verzweiflungsvollen) Klage zittert mir das Herz und wenn ich deine Worte höre, werde ich mutlos; wenn ich dich aber in deiner Kraft sehe, kehrt mir die Zuversicht zurück und scheucht die schmerzlichen Gedanken in das Reich der Nicht-

κέαρ τόνδε κλύουσαν οἶκτον. 410
καὶ τότε μὲν δύσελπις,
σπλάγχνα δέ μοι κελαινοῦται
πρὸς ἔπος κλυούσᾳ·
ὅταν δ' αὖτ' ἐπαλκῆ σ' ὁρῶμαι,
θάρσος ἀπέστασεν ἄχος 415
πρὸς τὸ μὴ τελεσφόρον.

ant. 4. ΗΛ. τί δ' ἂν φάντες τύχοιμεν; ἢ τάπερ
πάθομεν ἄχεα πρός γε τῶν τεκομένων,
πάρεστι σαίνειν, τὰ δ' οὔτι θέλγεται;
λύκος γὰρ ὥστ' ὠμόφρων 420
ἄσαντος ἐκ ματρός ἐστι θυμός.

str. 1. ΧΟ. ἔκοψα κομμὸν Ἄριον ἔν τε Κισσίας
νόμοις ἰηλεμιστρίας,

erfüllung." *φίλον κέαρ*, das Homerische *φίλον ἦτορ*.

410. *κλύουσαν* (*ἀντὶ τοῦ κλυούσῃ* Schol.), wie wenn ein Ausdruck wie *φόβος ὑπῆλθέ με* vorherginge, vgl. Soph. El. 480 *ὕπεστί μοι θράσος, ἁδυπνόων κλύουσαν ἀρτίως ὀνειράτων*, Eur. Med. 55 *ἵμερός μ' ὑπῆλθε γῇ τε κοὐρανῷ λέξαι μολούσῃ δεῦρο δεσποίνας τύχας*, Iph. Aul. 491 *ἄλλως τέ μ' ἔλεος τῆς ταλαιπώρου κόρης εἰσῆλθε συγγένειαν ἐννοουμένῳ* und zu Ag. 1611.

411. *τότε* bezieht sich auf das vorhergehende *τόνδε κλύουσαν οἶκτον*. — *δύσελπις* scil. *εἰμί*.

412. Vgl. Suppl. 793 *κελαινόχρων δὲ πάλλεται φίλον κέαρ*, Pers. 117 *μελαγχίτων φρὴν ἀμύσσεται φόβῳ*.

413. „auf dein Wort hin, wenn ich es höre."

415 f. Ag. 987 *εὔχομαι δ' ἐξ ἐμᾶς ἐλπίδος ψύθη πεσεῖν ἐς τὸ μὴ τελεσφόρον* und Hom. *Χ* 43 *ἦ κέ μοι αἰνὸν ἀπὸ πραπίδων ἄχος ἔλθοι*. — Der Aor. *ἀπέστησεν* drückt den augenblicklichen Eintritt der Handlung aus.

417 ff. „Wie kann man es richtig bezeichnen? Oder (mufs man sagen?): was wir von der Mutter Schmerzliches erlitten (vgl. 444 ff.), läfst sich sühnen, für das andere aber (den Mord des Vaters und die Mifshandlung seiner Leiche) giebt es keine Versöhnung. Denn so wenig wie ein wilder Löwe kann unser Grimm von der Mutter besänftigt werden." — *τύχοιμεν ἂν φάντες*: zu 14 und Ag. 1200.

422—453 zweite Partie, in welcher Chor (und zwar wohl Koryphaios) und Bühnenperson (Orestes, Elektra) in Strophe und Antistrophe mit einander wechseln: *a* (Chor, El.) *b* (Or.) = *b* (Chor) *a* (El., Chor).

422 f. Die vorausgehenden Worte *τὰ δ' οὔτι θέλγεται* erinnern den Chor an die kummervolle Zeit der Ermordung und der Bestattung des Agamemnon; der Chor gab sich damals seinerseits der schmerzlichsten Klage hin; Klyt., fügt Elektra hinzu, liefs ihren Gatten ohne Klage und ohne Thränen wie einen Feind ins Grab senken. — *κομμὸν Ἄριον* (Schol. *Περσικόν*) *ἔν τε νόμοις Κισσίας ἰηλεμιστρίας* (*θρηνητρίας* Hesych.) d. i. in der leidenschaftlichen Klageweise asiatischer Völkerschaften, welche mit Zerreifsen des Gewandes, Zerraufen des Haares und Schlägen an Haupt und Brust verbunden war, *ἰάλεμος* oder *ἰήλεμος*

ἀπριγδόπληκτα πολυπλάνητα δ' ἦν ἰδεῖν
ἐπασσυτεροτριβῆ τὰ χερὸς ὀρέγματα 425
κάτωθεν ἀνέκαθεν, κτύπῳ δ' ἐπερρόθει
κροτητὸν ἁμὸν καὶ πανάθλιον κάρα.

ΗΛ. ἰὼ δαΐα
πάντολμε μᾶτερ, δαΐαις ἐν ἐκφοραῖς
ἄνευ πολιτᾶν ἄνακτ', 430
ἄνευ δὲ πενθημάτων
ἔτλας ἀνοίμωκτον ἄνδρα θάψαι.

str. 2. ΟΡ. τὸ πᾶν ἀτίμως ἔλεξας, οἴμοι.
πατρὸς δ' ἀτίμωσιν ἆρα τίσει
ἕκατι μὲν δαιμόνων, 435
ἕκατι δ' ἁμᾶν χερῶν.
ἔπειτ' ἐγὼ νοσφίσας ὀλοίμαν.

ant. 2. ΧΟ. ἐμασχαλίσθη δέ γ', ὡς τόδ' εἰδῆς,

(wovon etwa der Schlufs der Perser ein Abbild giebt). Vgl. Pers. 940 τὰν κακοφάτιδα βοάν, κακομέλετον ἰὰν Μαριανδυνοῦ θρηνητῆρος, 123 καὶ τὸ Κισσίων πόλισμ' ἀντίδουπον ἄσεται, ὀᾶ, τοῦτ' ἔπος γυναικοπληθὴς ὅμιλος ἀπύων, βυσσίνοις δ' ἐν πέπλοις πέσῃ λακίς, Eur. Or. 1395 αἴλινον αἴλινον ἀρχὰν ἰαλέμου βάρβαροι λέγουσιν, αἰαῖ, Ἀσιάδι φωνᾷ, βασιλέων ὅταν αἷμα χυθῇ κατὰ γᾶν ξίφεσιν σιδαρέοισιν Ἅιδα, Soph. Ai. 627 αἴλινον αἴλινον οὐδ' οἰκτρᾶς γόον ὄρνιθος ἀηδοῦς ἥσει δύσμορος, ἀλλ' ὀξυτόνους μὲν ᾠδὰς θρηνήσει, χερόπλακτοι δ' ἐν στέρνοισι πεσοῦνται καὶ πολιᾶς ἄμυγμα χαίτας.

424 ff. ἀπριγδόπληκτα .. ὀρέγματα, Schläge auf das Haupt, bei denen das Haar gefafst und ausgerauft wird. Pers. 1057 ΞΕ. καί μοι γενείου πέρθε λευκήρη τρίχα. ΧΟ. ἄπριγδ' ἄπριγδα μάλα γοεδνά, dazu Schol. ἐπίφθεγμα ἐπὶ τῶν μετὰ σφοδρότητος τιλλόντων τὰς τρίχας. — πολυπλάνητα d. i. Schläge auf die verschiedenen Teile des Körpers, Verg. Aen. V 435 erratque aures et tempora circum crebra manus. Die Zusammenstellung ἀπριγδόπληκτα πολυπλάνητα ist malerisch. Darum steht δέ an dritter Stelle. — ἐπασσυτεροτριβῆ d. i. Schlag auf Schlag.

426. κάτωθεν ἀνέκαθεν, von unten hinauf, von oben herab d. i. von der Brust an den Kopf, von dem Kopf an die Brust.

429. δαΐαις d. i. wie man einen Feind bestattet.

430 f. Vgl. Ag. 1553.

433. ἀτίμως kurz für „alles, was du gesagt hast, ist auf eine für den Vater schimpfliche Weise geschehen".

434. ἆρα: zu 296.

435. ἕκατι, soviel ankommt auf, soviel abhängt von.

437. νοσφίζειν (töten), wie 489, Eum. 211. Vgl. Eur. El. 281 θάνοιμι μητρὸς αἷμ' ἐπισφάξασ' ἐμῆς, Soph. El. 1079 τό τε μὴ βλέπειν ἑτοίμα διδύμαν ἑλοῦσ' ἐρινύν, Ai. 390 πῶς ἂν .. τούς τε δισσάρχας ὀλέσας βασιλῆς τέλος θάνοιμι καὐτός; Der Schol. verweist auf eine Stelle des Kallimachos τεθναίην ὅτ' ἐκεῖνον ἀποπνεύσαντα πυθοίμην.

438. ἐμασχαλίσθη: hier wie Soph. El. 445 bezeichnet μασχαλίζειν die grausame Verstümmelung des Toten durch Abschneiden der Extremitä-

ἔπρασσε δ' ἅπέρ νιν ὧδε θάπτει,
μόρον κτίσαι μωμένα 440
ἄφερτον αἰῶνι σῷ.
κλύεις πατρῴους δύας ἀτίμους.

ant. 1. ΗΛ. ἔχεις πατρῷον μόρον· ἐγὼ δ' ἀπεστάτουν
ἄτιμος, οὐδὲν ἀξία.
μυχῷ δ' ἄφερκτος πολυσινοῦς κυνὸς δίκαν 445
ἑτοιμότερα γέλωτος ἀνέφερον λίβη,
χέουσα πολύδακρυν γόον κεκρυμμένον.
τοιαῦτ' ἀκούων ἐν φρεσὶν γράφου ⏑–
ΧΟ. δι' ὤτων δὲ συν-
τέτραινε μῦθον ἡσύχῳ φρενῶν βάσει. 450
τὰ μὲν γὰρ οὕτως ἔχει,
τὰ δ' αὐτὸς ὀργᾷ μαθεῖν·
πρέπει δ' ἀκάμπτῳ μένει καθήκειν.

ten. Nach der Angabe alter Grammatiker (Schol. zu Soph. a. O., Hesych. unter ἐμασχαλίσθη, Phot. unter μασχαλίσματα, Suid. unter μασχαλίσματα, ἐμασχαλίσθη, μασχαλισθῆναι, Etym. M. S. 118 unter ἀπάργματα, S. 574 unter μασχαλίζω, Schol. zu Apoll. Rh. IV 477) schnitt man dem Gemordeten, um Rache und Blutschuld von sich abzuwenden, die Extremitäten ab und band sie ihm unter die Achsel (μασχάλη); das Schwert reinigte man am Haupte desselben von Blut. — Durch γέ wird ἐμασχαλίσθη besonders betont. — ὡς τόδ' εἰδῇς wie ἵν' εἰδῇς Hom. β 111, Soph. Phil. 989.

439. ἅπερ ἔπρασσέ νιν d. i. so verstümmelt bestattete sie ihn.

440 f. μόρον, das Todeslos des Agamemnon. — Schol. δυστυχίαν μεγίστην κατασκευάζουσα τῷ σῷ βίῳ, ὦ Ὀρέστα.

442. π. δύας ἀτίμους d. i. die entehrende Mifshandlung des Vaters.

443. ἔχεις, damit weifst du. Zu 774. — Zur Mifshandlung des Vaters fügt Elektra ihre eigene schmähliche Behandlung hinzu, vgl. 135, Soph. El. 187 ff., 282 ff. — ἀπεστάτουν wird erläutert durch das folgende μυχῷ ἄφερκτος (in einen Winkel abgesperrt).

446. ἑτοιμότερα . . λίβη d. i. ertrug ich ein Dasein, in welchem mir das Weinen näher war als das Lachen.

447. κεκρυμμένον: Soph. El. 285 κἀπικωκύω . . αὐτὴ πρὸς αὐτήν· οὐδὲ γὰρ κλαῦσαι πάρα τοσόνδ' ὅσον μοι θυμὸς ἡδονὴν φέρει.

448. Die Ergänzung des unvollständigen Verses ist unsicher: σαῖσιν ἐν φρεσὶν γράφου oder ἐν φρεσὶν γράφου σέθεν oder ἐν φρεσὶν γράφου τορῶς. Vgl. Eum. 275, Prom. 815 ἣν ἐγγράφου σὺ μνήμοσιν δέλτοις φρενῶν, Suppl. 185 αἰνῶ φυλάξαι τἄμ' ἔπη δελτουμένας, Soph. Phil. 1325 καὶ ταῦτ' ἐπίστω καὶ γράφου φρενῶν ἔσω.

449 f. „Bohre dir die Worte durch die Ohren tief ins Herz hinein mit ruhiger und klarer Überlegung.“

451. τὰ μέν: ταῦτα τὰ συμβάντα Ἀγαμέμνονι Schol.

452. τὰ δέ, die Ausführung der Rache. — ὀργᾷ ist nicht dritte Person von ὀργᾶν (Schol. ἐπιθυμεῖ . . ὁ πατήρ), sondern zweite Person von ὀργᾶσθαι (heftig verlangen). Vgl. ὀργωμένοις· ἐντεταμένως ἐπιθυμοῦσιν Suid. und Phot., auch Sept. 381, wo wahrscheinlich βοὴν σάλπιγγος ὀργᾶται κλύων zu lesen ist.

453. καθήκειν, auf den Kampf-

str. ΟΡ. σέ τοι λέγω, ξυγγενοῦ, πάτερ, φίλοις.
ΗΛ. ἐγὼ δ' ἐπιφθέγγομαι κεκλαυμένα. 455
ΧΟ. στάσις δὲ πάγκοινος ἅδ' ἐπιρροθεῖ,
ἄρηξον ἐς φάος μολών,
ξὺν δὲ γενοῦ πρὸς ἐχθρούς.

ant. ΟΡ. Ἄρης Ἄρει ξυμβαλεῖ, Δίκᾳ Δίκα.
ΗΛ. ἰὼ θεοί, κραίνετ' ἐνδίκως <δίκας>. 460
ΧΟ. τρόμος μ' ὑφέρπει κλύουσαν εὐγμάτων.
τὸ μόρσιμον μένει πάλαι,
εὐχομένοις δ' ἂν ἔλθοι.

str. ὦ πόνος ἐγγενὴς
καὶ παράμουσος ἄτας 465
αἱματόεσσα πλαγά.
ἰὼ δύστον' ἄφερτα κήδη·
ἰὼ δυσκατάπαυστον ἄλγος.

ant. δώμασιν ἔμμοτον

platz treten, vgl. ξυγκαταβῆναι 723, κατέβαν Soph. Trach. 504, die Redensart καθιέναι εἰς ἀγῶνα und das lat. descendere in certamen.

454—462 dritte Partie, in welcher Orestes, Elektra, Chor sich in Strophe und Antistrophe teilen. — σέ τοι λέγω: Prom. 976 σὲ τὸν σοφιστὴν .. λέγω, Soph. Ai. 1228 σέ τοι τὸν ἐκ τῆς αἰχμαλωτίδος λέγω, Eur. Iph. A. 855 ὦ ξέν', Αἰακοῦ γένεθλον, μεῖνον, ὦ σέ τοι λέγω.

455. κεκλαυμένη („verweint") wie 727, Soph. Oed. T. 1490, Hom. Π 7 τίπτε δεδάκρυσαι.

456. στάσις wie Ag. 1105, Eum. 311.

457 f. Soph. El. 453 αἰτοῦ δὲ προσπίτνουσα γῆθεν εὐμενῆ ἡμῖν ἀρωγὸν αὐτὸν εἰς ἐχθροὺς μολεῖν.

459. Ἄρης Ἄρει: ὁ ἡμῶν τῷ τῶν ἐχθρῶν. Die beiden Parteien werden sich messen in Kraft und Recht. Wo mehr Kraft und mehr Recht, da wird der Sieg sein.

460. κραίνετ' ἐνδίκως δίκας (wenn diese Ergänzung richtig ist), verschaffet in Wahrheit und Gerechtigkeit dem Rechte Geltung.

462 f. „Längst harret die Bestimmung des Schicksals, dafs Klyt. büſse, ihrer Erfüllung, ein Gebet dürfte die Erfüllung herbeiführen." Mit εὐχομένοις wird zum Gebete aufgefordert.

464—473 vierte Partie, ein Gebet, welches von allen, Chor und Bühnenpersonen, gesungen wird. — πόνος ἐγγενής, Unsal, die mit dem Geschlechte verknüpft ist. Ag. 159 νεικέων τέκτονα σύμφυτον, 1565 κεκόλληται γένος πρὸς ἄτᾳ.

465 f. παράμουσος, unmusikalisch, nicht zu Gesang und Saitenspiel stimmend, vgl. Ausdrücke wie ἄχορος, ἀκίθαρις, ἀφόρμικτος, ἀνυμέναιος, ἄλυρος (zu Ag. 980). Eur. Phoen. 786 ὦ πολύμοχθος Ἄρης .. Βρομίου παράμουσος ἑορταῖς. — ἄτης πληγή, unheilvoller Schlag. Krüger II § 47, 5, 2.

469 ff. ἔμμοτος ist ein medizinischer Ausdruck wie ἄκος, denn μότα τὰ ἐπιτιθέμενα τοῖς κοίλοις

τῶνδ' ἄκος, οὐδ' ἀπ' ἄλλων 470
ἔκτοθεν, ἀλλ' ἀπ' αὐτῶν
δι' ὠμὰν ἔριν αἱματηράν.
θεῶν τῶν κατὰ γᾶς ὅδ' ὕμνος.

ἀλλὰ κλύοντες, μάκαρες χθόνιοι,
τῆσδε κατευχῆς πέμπετ' ἀρωγὴν 475
παισὶν προφρόνως ἐπὶ νίκῃ.

ΟΡ. πάτερ, τρόποισιν οὐ τυραννικοῖς θανών,
αἰτουμένῳ μοι δὸς κράτος τῶν σῶν δόμων.
ΗΛ. κἀγώ, πάτερ, τοιάνδε σου χρείαν ἔχω,
φυγεῖν μέγαν προσθεῖσαν Αἰγίσθῳ ⏑ –. 480
ΟΡ. οὕτω γάρ ἄν σοι δαῖτες ἔννομοι χθονὸς

τραύμασιν ὀθόνια πρὸς ἀναπλήρωσιν τῆς σαρκός Schol. zu Hom. Δ 440. Wie Charpie als Linderung zwischen den Wunden liegt, so liegt die Heilung dieses Schlages im Hause und kann nur von einem Mitglied der Familie (Orestes) ausgehen, durch wilden blutigen Streit erfolgend. Zu *ἔριν αἱματηράν* vgl. *δι' ἔριν αἱματόεσσαν* Ag. 701.

473. *ταῦτα τὰ ᾄσματα τοῖς κατὰ γῆς θεοῖς πρέπει καὶ οὐ τοῖς οὐρανίοις.* Schol. Vgl. Ag. 642 u. 649 f.

474—476 Epilog des Koryphaios mit dem glückverheifsenden *ἐπὶ νίκῃ* schliefsend, wie die Epiloge von Reden gern ein gutes Wort wie *σῴζειν, συμφέρειν, ἀρετή* u. dgl. am Ende haben. — *μάκαρες χθόνιοι* von den Manen (Agamemnon).

477—507 werden die Gedanken des Kommos wieder aufgenommen (die Symmetrie dieser Partie zeigen folgende Zahlen: 2. 2. 3. 3. 1. 1. 1. 1. 1. 1. 1. 1. 3. 3. 2. 3. 2), 508—582 wird nach der Deutung des bösen Traumes, welchen Klyt. gehabt hat (32 ff.), der Plan der Rache verabredet und jedem seine Rolle zugeteilt.

477. *οὐχ ὡς βασιλεῖ πρέπει, ἀλλ' ἀδόξως* Schol.

478. *δὸς κράτος κτἑ.*, gewähre, dafs ich mich mit Gewalt in den Besitz deines Hauses setze.

480. Der Schol. giebt von dem lückenhaften Verse folgende Erklärung: *ὥστε φυγεῖν τὰς ἐπιβουλὰς Αἰγίσθου τιμωρησαμένην αὐτόν.* Darnach ergänzt Klausen *βόλον* und vergleicht Eur. Bakch. 847 *ἀνὴρ ἐς βόλον καθίσταται*, Rhes. 730 *εἴς βόλον τις ἔρχεται.* Andere vermuten: *φυγεῖν με λαμπρὸν* (oder *λαμπρῶς*) *θεῖσαν Αἰ. μόρον* (*λαμπρόν* Canter, *λαμπρῶς* Blomfield, *μόρον* Turnebus) oder *τυχεῖν με λαμπρὰς θεῖσαν Αἰγ. πάγας* (Franz). Aber nach der Bitte des Orestes erwartet man mehr als das einfache *φυγεῖν* und zwar nach V. 484 f. etwa: *τυχεῖν με γαμβροῦ θεῖσαν Αἰγίσθῳ μόρον.* Nach Poll. III 31 und Bekk. Anekd. 228 bedeutet *γαμβρός* im äolischen und dorischen Dialekt Bräutigam; Äschylos hat ebenso Pers. 13 *νυός* im Sinne von *νύμφη* gebraucht, wenn dort die Verbesserung *νυὸς δ' ἄνδρα βαΰζει* richtig ist. Vgl. Soph. El. 971 *γάμων ἐπαξίων τεύξῃ.*

481. *ἔννομοι: αἱ νόμιμοι θυσίαι* Schol. — *δαῖτες χθονός*: bei den Totenopfern, bei welchen Tiere geschlachtet und verbrannt wurden

κτιζοίατ'· εἰ δὲ μή, παρ' εὐδείπνοις φθιτῶν
ἄτιμος ἐμπύροισι κνισωτοῖς ἔσῃ.
ΗΛ. κἀγὼ χοάς σοι τῆς ἐμῆς παγκληρίας
οἴσω πατρῴων ἐκ δόμων γαμηλίους· 485
πάντων δὲ πρῶτον τόνδε πρεσβεύσω τάφον.
ΟΡ. ὦ γαῖ', ἄνες μοι πατέρ' ἐποπτεῦσαι μάχην.
ΗΛ. ὦ Περσέφασσα, δὸς δὲ γάμορον κράτος.
ΟΡ. μέμνησο λουτρῶν οἷς ἐνοσφίσθης, πάτερ.
ΗΛ. μέμνησο δ' ἀμφίβληστρον ὡς ἐκαίνισας, 490
ΟΡ. πέδαις γ' ἀχαλκεύτοισι θηρευθείς, πάτερ,
ΗΛ. αἰσχρῶς τε βουλευτοῖσιν ἐν καλύμμασιν.
ΟΡ. ἆρ' ἐξεγείρῃ τοῖσδ' ὀνείδεσιν, πάτερ;
ΗΛ. ἆρ' ὀρθὸν αἴρεις φίλτατον τὸ σὸν κάρα;
ΟΡ. ἤτοι δίκην ἴαλλε σύμμαχον φίλοις, 495

(αἱμακουρίαι Pind. Ol. I 146, Plut. Arist. 21), liefs man das Blut in die Erde fliefsen, wie auch andere Spenden auf das Grab oder in den aufgegrabenen Boden gegossen wurden, als Mahl für die Toten (Lukian Char. 22). Vgl. Eur. Tro. 381 οὐδὲ πρὸς τάφους ἔσθ' ὅστις αὐτοῖς αἷμα γῇ δωρήσεται.

482 f. κτιζοίατο: Die gleiche Endung Pers. 454 ἐξοισοίατο. — τῶν ἄλλων νεκρῶν μεταλαμβανόντων ἐναγιασμῶν σὺ ἄτιμος ἔσῃ Schol. „Bei Toten, die reiche Opfermahlzeiten genïefsen, wirst du nicht mit fettdampfenden Brandopfern geehrt werden.“ ἔμπυρα τὰ καιόμενα ἱερεῖα Suid.

484 f. γαμηλίους χοὰς .. παγκληρίας, hochzeitliche (d. i. zur Feier meiner Hochzeit dargebrachte) Spenden von der gesamten Habe, die mir als Erbe zukommt. Vgl. Eur. Ion 814 ὅστις σε γήμας .. καὶ σὴν παραλαβὼν παγκληρίαν, Suppl. 14 Οἰδίπου παγκληρίας μέρος κατασχεῖν φυγάδι Πολυνείκει θέλων und zum Gedanken Soph. El. 457 ὅπως τὸ λοιπὸν αὐτὸν ἀφνεωτέραις χερσὶ στέφωμεν.

486. Vgl. Eum. 1.

487 f. Pers. 631 ἀλλὰ χθόνιοι δαίμονες ἁγνοί, Γῆ τε καὶ Ἑρμῆ, βασιλεῦ τ' ἐνέρων, πέμψατ' ἔνερθεν ψυχὴν ἐς φῶς, 643 ff., 652 ff. — δὲ nach dem Vokativ: zu Prom. 3. — γάμορον κράτος, Obsieg, der in Besitz des Landes setzt. Vgl. 478.

490. ὡς ἐκαίνισας ἀμφίβληστρον, wie du das Netz eingeweiht hast d. h. wie an dir mit dem Netze ein ganz neuer Gebrauch gemacht wurde. Ag. 1055, Eur. Tro. 889 εὐχὰς ὡς ἐκαίνισας θεῶν.

491. πέδαις ἀχαλκεύτοισι: zu Ag. 82.

492. αἰσχρῶς βουλευτός, schandvoll ersonnen.

493. ὀνείδεσιν (Zurufe) wie Eur. Or. 1238 οὔκουν ὀνείδη τάδε κλύων ῥύσῃ τέκνα;

494. Wegen der Stellung von φίλτατον vgl. Eur. El. 1006 μακαρίας τῆς σῆς χερός, Androm. 98 στερρόν τε τὸν ἐμὸν δαίμονα.

495 f. „Entweder schicke Dike zum Beistand im offenen Kampfe oder gewähre zum Lohne für deine Überlistung, dafs wir sie auf die gleiche Weise fassen.“ Entweder soll also das Recht im offenen Kampfe oder die List siegen. Zu τὰς ὁμοίας λαβάς vgl. Plat. Phaedr. 236 B εἰς τὰς ὁμοίας λαβὰς ἐλήλυθας, 544 B τὴν αὐτὴν λαβὴν πάρεχε, eine der Ringschule entnommene Redeweise.

ἢ τὰς ὁμοίας ἀντίδος λαβὰς λαβεῖν,
εἴπερ κρατηθείς γ' ἀντινικῆσαι θέλεις.
ΗΛ. καὶ τῆσδ' ἄκουσον λοισθίου βοῆς, πάτερ·
ἰδὼν νεοσσοὺς τούσδ' ἐφημένους τάφῳ,
οἴκτειρε θῆλυν ἄρσενός θ' ὁμοῦ γόον. 500
ΟΡ. καὶ μὴ 'ξαλείψῃς σπέρμα Πελοπιδῶν τόδε·
οὕτω γὰρ οὐ τέθνηκας οὐδέ περ θανών.
ΗΛ. παῖδες γὰρ ἀνδρὶ κληδόνος σωτήριοι
θανόντι· φελλοὶ δ' ὣς ἄγουσι δίκτυον,
τὸν ἐκ βυθοῦ κλωστῆρα σῴζοντες λίνου. 505
ΟΡ. ἄκου', ὑπὲρ σοῦ τοιάδ' ἔστ' ὀδύρματα·
αὐτὸς δὲ σῴζῃ τόνδε τιμήσας λόγον.

ΧΟ. καὶ μὴν ἀμεμφῆ τόνδ' ἐτεινάτην γόον,
τίμημα τύμβου τῆς ἀνοιμώκτου τύχης.
τὰ δ' ἄλλ', ἐπειδὴ δρᾶν κατώρθωσαι φρενί, 510
ἔρδοις ἂν ἤδη δαίμονος πειρώμενος.
ΟΡ. ἔσται· πυθέσθαι δ' οὐδέν ἐστ' ἔξω δρόμου,
πόθεν χοὰς ἔπεμψεν, ἐκ τίνος λόγου

499. νεοσσούς, vgl. 255, Eur. Herakl. 239 βώμιος θακεῖς νεοσσῶν τήνδ' ἔχων ὁμήγυριν.

500. θῆλυν ἄρσενος τε, ein Wechsel wie θεῖον γένος οὐδ' ἀνθρώπων Hom. Z 180.

503. κληδόνος σωτήριοι: zu 235. Zum Gedanken vgl. Eur. Iph. T. 697 ὄνομά τ' ἐμοῦ γένοιτ' ἄν, οὐδ' ἄπαις δόμος πατρῷος οὑμὸς ἐξαλειφθείη ποτ' ἄν, Isae. 2, 36 τῷ ἐμῷ παιδίῳ ἐθέμην τὸ ὄνομα τὸ ἐκείνου, ἵνα μὴ ἀνώνυμος ὁ οἶκος αὐτοῦ γένηται.

504 f. „Und wie Korke ziehen sie das Netz, indem sie das Garn in der Tiefe oben erhalten.“ Ohne weiteres wird das Gleichnis an Stelle des eigentlichen Ausdrucks gesetzt: ἐκεῖνοι γὰρ ἐπιπλέοντες σημαίνουσι τὴν ἐν βυθῷ σαγήνην· οὕτω καὶ ἡμεῖς ζῶντες σὲ τὸν θανόντα Schol. Vgl. Pind. Pyth. II 146 ἀβάπτιστός εἰμι φελλὸς ὣς ὑπὲρ ἕρκος ἅλμας. — τὸν ἐκ βυθοῦ (Einfluſs des Prädikats auf das Attribut des Subjekts und Objekts): vgl. Ag. 543 und zu Prom. 728 (702).

506 f. ὑπὲρ σοῦ wird durch das folgende αὐτὸς . . λόγον erklärt; δέ steht also wie 238.

508 ff. Man kann es zwar nicht tadeln, daſs ihr die Klage so lange ausgedehnt habt, durch welche das Grab des Vaters schadlos gehalten wird für das Geschick, daſs ihm früher keine Thräne geweiht wurde (431 f.), aber doch ist es nunmehr Zeit zum Handeln. ἐτεινάτην: zu Ag. 1206. — τίμημα: zu 199. — τῆς ἀνοιμώκτου (zu Ag. 355 u. 759) τύχης ist gen. relat. — κατώρθωσαι φρενί, du bist aufgerichtet im Sinne, bist fest entschlossen. — δαίμονος πειρώμενος wie Ag. 1663.

512. ἔξω δρόμου: Schol. ἔξω τοῦ προκειμένου, es weicht nicht ab von der Bahn (welche zur That führt). Zu Ag. 1244. Die Erzählung des Traumes dient zur Bestärkung des Orestes. Vgl. 547 f.

513 f. πόθεν wird erläutert durch ἐκ τίνος λόγου (qua ratione). —

μεθύστερον τιμῶσ' ἀνήκεστον πάθος;
θανόντι δ', οὐ φρονοῦντι, δειλαία χάρις 515
ἐπέμπετ' (οὐκ ἔχοιμ' ἂν εἰκάσαι τόδε)
τὰ δῶρα, μείω δ' ἐστὶ τῆς ἁμαρτίας.
τὰ πάντα γάρ τις ἐκχέας ἀνθ' αἵματος
ἑνός, μάτην ὁ μόχθος· ὧδ' ἔχει λόγος.
θέλοντι δ', εἴπερ οἶσθ', ἐμοὶ φράσον τάδε. 520

ΧΟ. οἶδ', ὦ τέκνον, παρῆ γάρ· ἔκ τ' ὀνειράτων
καὶ νυκτιπλάγκτων δειμάτων πεπαλμένη
χοὰς ἔπεμψε τάσδε δύσθεος γυνή.

ΟΡ. ἦ καὶ πέπυσθε τοὔναρ, ὥστ' ὀρθῶς φράσαι;

ΧΟ. τεκεῖν δράκοντ' ἔδοξεν, ὡς αὐτὴ λέγει. 525

ΟΡ. καὶ ποῖ τελευτᾷ καὶ καρανοῦται λόγος;

ΧΟ. ἐν σπαργάνοισι παιδὸς ὁρμίσαι δίκην.

ΟΡ. τίνος βορᾶς χρῄζοντα, νεογενὲς δάκος;

ΧΟ. αὐτὴ προσέσχε μαστὸν ἐν τὠνείρατι.

ΟΡ. καὶ πῶς ἄτρωτον οὖθαρ ἦν ὑπὸ στύγους; 530

ΧΟ. ὥστ' ἐν γάλακτι θρόμβον αἵματος σπάσαι.

ΟΡ. οὔτοι μάταιον ἂν τόδ' ὄψανον πέλοι.

ΧΟ. ἡ δ' ἐξ ὕπνου κέκλαγγεν ἐπτοημένη.

τιμῶσα, durch Ehren zu sühnen suchend. — *ἀνήκεστον*, beliebtes Epitheton, wenn von Mord und Tod die Rede ist.

515 ff. Dem Toten, der des nicht achtet, wurden als armselige Gunst (ich kann mir das nicht deuten) die Geschenke geschickt, die viel zu gering sind um die Schuld zu sühnen. — *οὐκ ἔχοιμ' ἂν εἰκάσαι τόδε*: Schol. *διστάζω ὅτου ἕνεκα ἐπέμφθη*.

518 f. *ἐκχέας*, als ob folgen sollte *μάτην πονεῖ* (*ἐπόνησε*), an dessen Stelle das wirkungsvollere *μάτην ὁ μόχθος* tritt. Vgl. zu Ag. 653 und wegen des Gedankens zu Ag. 990 ff. — *ὧδ' ἔχει λόγος*: zu Ag. 587.

520. *θέλοντι* d. i. sage es mir, wenn du es weifst, und du wirst mir damit einen Gefallen erweisen.

521. *παρῆ*: zu Ag. 1637.

522. *νυκτίπλαγκτα δείματα* sind Schrecknisse, welche die Nachtruhe stören. Vgl. 747, Ag. 12.

525. Über diesen Traum vgl. Einl. S. 7.

526. *ποῖ τελευτᾷ*, worauf geht hinaus? Vgl. zu 1019 und Pers. 737 *πῶς τε δὴ καὶ ποῖ τελευτᾶν*; Soph. Oed. K. 476 *τὸ δ' ἔνθεν ποῖ τελευτῆσαί με χρή*; Eur. Hek. 419 *ποῖ τελευτήσω βίον*. — *καρανοῦται*: *κεφαλαιοῦται* Schol. („was ist das Ende vom Ganzen").

527. Schol. *ὡς παῖδα αὐτὸν ἐκτεῖναι ἐδόκει ἐν τοῖς σπαργάνοις*. Der Infin. *ὁρμίσαι* ist von *ποῖ . . λόγος* (Erzählung des Traumes), wobei *αὐτὴ λέγει* vorschwebt, abhängig. Zu *ὁρμίσαι* vgl. Hesych. *ὅρμισον: δῆσον, ἀνάπαυσον*.

528. *χρῄζοντα* schliefst sich an *δράκοντα* an, wozu *νεογενὲς δάκος* Apposition ist und die Frage *τίνος βορᾶς χρ.* begründet.

530 f. *στύγους: τοῦ μισητοῦ θηρίου* Schol. *πῶς ἄτρωτον ἦν* ist s. v. a. „es wurde doch gewifs verwundet", daher *ὥστε . . σπάσαι* (*τὸν δράκοντα*).

πολλοὶ δ' ἀνῆθον, ἐκτυφλωθέντες σκότῳ,
λαμπτῆρες ἐν δόμοισι δεσποίνης χάριν· 535
πέμπει τ' ἔπειτα τάσδε κηδείους χοάς,
ἄκος τομαῖον ἐλπίσασα πημάτων.

ΟΡ. ἀλλ' εὔχομαι γῇ τῇδε καὶ πατρὸς τάφῳ
τοὔνειρον εἶναι τοῦτ' ἐμοὶ τελεσφόρον.
κρίνω δέ τοί νιν ὥστε συγκόλλως ἔχειν. 540
εἰ γὰρ τὸν αὐτὸν χῶρον ἐκλιπὼν ἐμοὶ
οὔφις ἐφ' ἁμὰ σπάργαν' ἠλελίζετο
καὶ μαστὸν ἀμφέχασκ' ἐμὸν θρεπτήριον,
θρόμβῳ τ' ἔμιξεν αἵματος φίλον γάλα,
ἣ δ' ἀμφὶ τάρβει τῷδ' ἐπῴμωξεν πάθει, 545
δεῖ τοί νιν, ὡς ἔθρεψεν ἔκπαγλον τέρας,
θανεῖν βιαίως· ἐκδρακοντωθεὶς δ' ἐγὼ
κτείνω νιν, ὡς τοὔνειρον ἐννέπει τόδε.

ΧΟ. τερασκόπον δὴ τῶνδέ σ' αἱροῦμαι πέρι,
γένοιτο δ' οὕτως. τἄλλα δ' ἐξηγοῦ φίλοις, 550
τοὺς μέν τι ποιεῖν, τοὺς δὲ μή τι δρᾶν λέγων.

ΟΡ. ἁπλοῦς ὁ μῦθος· τήνδε μὲν στείχειν ἔσω,
αἰνῶ δὲ κρύπτειν τάσδε συνθήκας ἐμάς,

534. *ἀνῆθον* (Schol. *ἀνέλαμψαν*) intransitiv wie Soph. Ai. 286 *ἄκρας νυκτός, ἡνίχ' ἕσπεροι λαμπτῆρες οὐκέτ' ᾖθον*. Vgl. Hom. *σ* 307 *αὐτίκα λαμπτῆρας τρεῖς ἵστασαν ἐν μεγάροισιν, ὄφρα φαείνοιεν*.

537. *ἄκος τομαῖον* wie Suppl. 274 *ἄκη τομαῖα καὶ λυτήρια*, ein durch Schneiden, also gewaltsam die Heilung suchendes Mittel. Man hat nicht an *τέμνειν φάρμακα* (zu Ag. 17), sondern an das Schneiden der Wundärzte (zu Ag. 840) zu denken.

540. *νίν, αὐτό* wie Soph. El. 436 *νίν* für *αὐτά* steht. Krüger II § 51, 1, 13. — *συγκόλλως* d. i. ich deute den Traum so, dafs der Sinn, den ich hineinlege, sich genau an die Anzeichen des Traumes anlehnt.

542. *ὄφῖς* wie 927 *ὄφῖν*. Nach Cram. Anecd. Oxon. III p. 298 *Ἀριστοκλῆς δὲ ἐν τῷ περὶ διαλέκτων φησὶν Ἀττικοὺς ἐκτείνειν* gehört diese Verlängerung dem attischen Dialekte an. — *ἐφ' ἁμὰ σπ. ἠλελίζετο*, sich über meine Windeln hin schlängelte. Vgl. Hom. *B* 316 *ἐλελιξάμενος (δράκων)*.

